*μηδ᾽ ἢν δοκῇς μέν, ἡ δὲ δόξα σου νοσῇ,*
*φρονεῖν δόκει τι· τὸν θεὸν δ᾽ ἐς γῆν δέχου*
*καὶ σπένδε καὶ βάκχευε καὶ στέφου κάρα.*
*ὁρᾷς, σὺ χαίρεις, ὅταν ἐφεστῶσιν πύλαις* 319
*πολλοί, τὸ Πενθέως δ᾽ ὄνομα μεγαλύνῃ πόλις·* 320
*κἀκεῖνος, οἶμαι, τέρπεται τιμώμενος.* 321
. . . . . . . . . . . . . . . . . . . . . . . . . .
*οὐχ ὁ Διόνυσος σωφρονεῖν ἀναγκάσει* 314
*γυναῖκας ἐς τὴν Κύπριν, ἀλλ᾽ εἰ τῇ φύσει* 315
*τὸ σωφρονεῖν ἔνεστιν εἰς τὰ πάντ᾽ ἀεί,*
*τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν*
*οὖσ᾽ ἥ γε σώφρων οὐ διαφθαρήσεται.* 318
*ἐγὼ μὲν οὖν καὶ Κάδμος, ὃν σὺ διαγελᾷς,* 322
*κισσῷ τ᾽ ἐρεψόμεσθα καὶ χορεύσομεν,*
*πολιὰ ξυνωρίς, ἀλλ᾽ ὅμως χορευτέον.*
*[κοὐ θεομαχήσω σῶν λόγων πεισθεὶς ὕπο.* 325
*μαίνῃ γὰρ ὡς ἄλγιστα, κοὔτε φαρμάκοις*
*ἄκη λάβοις ἂν οὔτ᾽ ἄνευ τούτων νοσεῖς.]*
ΧΟ. *ὦ πρέσβυ, Φοῖβόν τ᾽ οὐ καταισχύνεις λόγοις,*
*τιμῶν τε Βρόμιον σωφρονεῖς, μέγαν θεόν.*
ΚΑ. *ὦ παῖ, καλῶς σοι Τειρεσίας παρῄνεσεν.* 330
*οἴκει μεθ᾽ ἡμῶν, μὴ θύραζε τῶν νόμων.*
*νῦν γὰρ πέτῃ τε καὶ φρονῶν οὐδὲν φρονεῖς.*
*κεἰ μὴ γὰρ ἔστιν ὁ θεὸς οὗτος, ὡς σὺ φῄς,*
*παρὰ σοὶ λεγέσθω· καὶ καταψεύδου καλῶς*
*ὡς ἔστι Σεμέλης, ἵνα δοκῇ θεὸν τεκεῖν,* 335
*ἡμῖν τε τιμὴ παντὶ τῷ γένει προσῇ.*